**ἄρτιος (χώρα)**

Hephaest. 15. 17 sqq. τὸ ἰαμβικὸν δέχεται κατὰ μὲν τὰς περισσὰς χώρας [τουτέστι πρώτην, τρίτην, πέμπτην] ἴαμβον, τρίβραχυν, καὶ σπονδεῖον, δάκτυλον, ἀνάπαιστον, κατὰ δὲ τὰς ἀρτίους [τουτέστι δευτέραν, τετάρτην, ἕκτην] ἴαμβον καὶ τρίβραχυν καὶ ἀνάπαιστον· τοῦτον δὲ παρὰ τοῖς κωμικοῖς συνεχῶς, παρὰ δὲ τοῖς ἰαμβοποιοῖς καὶ τραγικοῖς σπανιώτερον.

Hephaest. 17. 16 sqq. τὸ τροχαικὸν κατὰ μὲν τὰς περιττὰς χώρας δέχεται τροχαῖον, τρίβραχυν καὶ δάκτυλον, κατὰ δὲ τὰς ἀρτίους τούτους τε καὶ σπονδεῖον καὶ ἀνάπαιστον.

Hephaest. 20. 1 sqq. τῷ δὲ δακτύλῳ τῷ κατὰ τὰς περιττὰς ἐμπίπτοντι χώρας ἥκιστα οἱ ἰαμβοποιοὶ ἐχρήσαντο ποιηταί, σπανίως δὲ καὶ οἱ τραγικοί, οἱ δὲ κωμικοὶ συνεχῶς ὥσπερ καὶ ἐν τῷ ἰαμβικῷ τῷ ἐπὶ τῆς ἀρτίου ἀναπαίστῳ· ἑκάτερον γὰρ ἄλογον· οὔτε γὰρ ἐν τῷ ἰαμβικῷ ἐχρῆν ἀνάπαιστον ἐπὶ τῆς ἀρτίου χώρας, ἐφ᾽ ἧς οὐδὲ σπονδεῖος ἐγχωρεῖ, οὗ λύσις ἐστὶν ὁ ἀνάπαιστος, οὔτε ἐν τῷ τροχαικῷ ἐπὶ τῆς περιττῆς τὸν δάκτυλον, ἐφ᾽ ἧς οὐδὲ σπονδεῖος ἐγχωρεῖ, οὗ ὁμοίως λύσις ὁ δάκτυλος.

Hephaest. 35. 12 sqq. καὶ δίμετρον (*scil.* ἰωνικὸν ἀπὸ μείζονος) ἀκατάληκτον τὸ καλούμενον κλεομάχειον, ἐν ᾧ καὶ οἱ μολοσσοὶ ἐπὶ τῶν ἀρτίων χωρῶν ἐμπίπτουσι καὶ οἱ χορίαμβοι, οἷον· (SH 341)

τίς τὴν ὑδρίην ἡμῶν
ἐψόφησ᾽; ἐγὼ πίνων.

Hephaest. 37. 10 sqq. τὸ δὲ ἀπ᾽ ἐλάσσονος ἰωνικὸν συντίθεται μὲν καὶ καθαρόν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς τροχαικὰς [διποδίας] οὕτως, ὥστε τὴν πρὸ τῆς τροχαικῆς ἀεὶ γίνεσθαι πεντάσημον, τουτέστι τρίτην παιωνικήν, καὶ τὴν τροχαικήν, ὁπόταν προτάττοιτο τῆς ἰωνικῆς, γίνεσθαι ἑπτάσημον [τροχαϊκήν], τὸν καλούμενον δεύτερον ἐπίτριτον· ἔσθ᾽ ὅτε δὲ ἡ μὲν τρίτη παιωνικὴ συναιρεῖται εἰς παλιμβάκχειον, τῆς δὲ ἐπιφερομένης τροχαικῆς ὁ πρότερος λύεται εἰς τρίβραχυν· ἐμπίπτουσι δὲ καὶ οἱ μολοττοὶ ἐπὶ τῶν περιττῶν χωρῶν ἐν τοῖς ἀπ᾽ ἐλάσσονος ἰωνικοῖς, ὥσπερ ἐν τοῖς ἀπὸ μείζονος ἐπὶ τῶν ἀρτίων.

Hephaest. 57. 11 sqq. τάχα δὲ καὶ τὸ κωμικόν [τὸ] καλούμενον ἐπιωνικὸν πολυσχημάτιστον συνέθεσαν· μάλιστα δ᾽ ἐν αὐτῷ ἀταξία πολλή, ἡ τοὺς σπονδείους ἐπ᾽ ἀρτίου χώρας ἔχουσα τῶν ἰαμβικῶν συζυγιῶν, οἷον παρ᾽ Εὐπόλιδι ἐν Χρυσῷ γένει (fr. 316 [PCG V, p. 481] Kassel-Austin)

ὦ καλλίστη πόλι πασῶν ὅσας Κλέων ἐφορᾷ,
ὡς εὐδαίμων πρότερόν τ᾽ ἦσθα, νῦν δὲ μᾶλλον ἔσῃ.

Aristid. Qvint. *de mus.* I 22 (p. 44. 30 sqq. Winnington-Ingram) τὰς μὲν μακρὰς ἐν περιτταῖς ἔχων (*scil.* ὁ πούς) χώραις, τὰς δὲ βραχείας ἐν ταῖς ἀρτίοις διτρόχαιος, ἢ ἐναντίως ἔχων διίαμβος.

Aristid. Qvint. *de mus.* I 25 (p. 48. 16 sqq. Winnington-Ingram) τὸ δὲ ἰαμβικὸν δέχεται δάκτυλον τρίβραχυν ἀνάπαιστον, τροχαῖον δὲ οὐδ᾽ ὅλως· εἰς ἕτερον γὰρ τραπήσεται μέτρον. σπονδεῖον δὲ δέχεται μὲν ἐν ταῖς περιτταῖς (*scil.* χώραις) ἐν δὲ ταῖς ἀρτίοις οὐδαμῶς· ὁ γὰρ χωρίσας αὐτὸ τῆς πρὸς τὸ δακτυλικὸν ὁμοιότητος ὁ κατὰ τὴν ἄρτιον χώραν ἴαμβός ἐστι.

Aristid. Qvint. *de mus.* I 25 (p. 49. 3 sqq. Winnington-Ingram) τὸ δ᾽ ἀντικείμενον τούτῳ (*scil.* τῷ ἰαμβικῷ) τροχαικὸν δέχεται τρίβραχυν δάκτυλον ἀνάπαιστον, σπονδεῖον δὲ ἐν ταῖς ἀρτίοις μόναις διά τε τὰς ἐπὶ τοῦ ἰάμβου προρρηθείσας ἡμῖν αἰτίας καὶ ὅτι ἐφεξῆς πολλῶν κειμένων μακρῶν ἡ τῆς φωνῆς συνέχεια τοῖς ἐπαλλήλοις μεγέθεσι τῶν συλλαβῶν διακόπτεται.

Aristid. Qvint. *de mus.* I 27 (p. 50. 7 sqq. Winnington-Ingram) πρόεισι δ᾽ (*scil.* τὸ ἰωνικὸν ἀπὸ μείζονος) ἀπὸ διμέτρου μέχρι τετραμέτρου καὶ τὰ τῶν καταλήξεων εἴδη δέχεται· τροχαικὴν δὲ δέχεται διποδίαν κατὰ μὲν τὴν περιττὴν χώραν καθαράν, κατὰ δὲ τὴν ἄρτιον καὶ ἑπτάσημον.

Choerob. 227. 12 sqq. ἐντεῦθεν ἄρχεται κυρίως κανονίζειν τὰ μέτρα πάνυ σαφέστατα ἀπαγγέλλων ὅτι κατὰ τὰς περιττὰς χώρας, οἱονεὶ κατὰ τὸν πρῶτον καὶ τρίτον καὶ πέμπτον πόδα, δέχεται ἕνα τῶν πέντε τούτων ποδῶν, κατὰ δὲ τὰς ἀρτίους, τουτέστι κατὰ δεύτερον καὶ τέταρτον, ἕνα τῶν τριῶν· πάντως γὰρ ἡ ἀρτία ἀπὸ βραχείας θέλει ἄρχεσθαι καὶ δέχεται ἴαμβον ἢ τρίβραχυν τὸν λεγόμενον χορεῖον ἢ ἀνάπαιστον. τοῦτον δὲ τὸν ἀνάπαιστον συνεχῶς παρὰ κωμικοῖς δέχεται, σπανίως δὲ παρὰ τοῖς ἰαμβοποιοῖς καὶ τραγικοῖς. ἰαμβοποιοὺς δὲ καλεῖ τὸν Σιμωνίδην καὶ Ἀρχίλοχον καὶ Ἱππώνακτα (test. 51 Degani).

Trich. 366. 18 sqq. δέχεται δὲ τὸ ἰαμβικὸν μέτρον κατὰ μὲν τὴν τῶν παλαιῶν ἄδειαν καὶ συνήθειαν ἐν μὲν ταῖς περιτταῖς χώραις, τουτέστι τῇ πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ τοὺς πέντε τούτους πόδας ⏑ – ἴαμβον, ⏑ ⏑ ⏑ χορεῖον, – – σπονδεῖον, – ⏑ ⏑ δάκτυλον, ⏑ ⏑ – ἀνάπαιστον … 367. 27 sqq. ἡμεῖς δὲ ἐν μὲν ταῖς περιτταῖς χώραις ἴαμβον καὶ σπονδεῖον, ἐν δὲ ταῖς ἀρτίοις ἴαμβον μόνον δεχόμεθα, ἐν δὲ τῇ ἕκτῃ ἴαμβον ἢ πυρρίχιον.

Trich. 371. 20 sqq. Δέχεται δὲ τὸ τροχαϊκὸν μέτρον ἐν μὲν ταῖς ἀρτίαις χώραις, τουτέστι δευτέρᾳ τετάρτῃ ἕκτῃ καὶ ὀγδόῃ, ὅτε ἀκατάληκτον τετράμετρον εὑρίσκεται, τοὺς πέντε τούτους πόδας – ⏑ τροχαῖον, ⏑ ⏑ ⏑ τρίβραχυν, τὸν καὶ χορεῖον, – – σπονδεῖον, – ⏑ ⏑ δάκτυλον, ⏑ ⏑ – ἀνάπαιστον· οἳ διὰ τί τε οὕτως καλοῦνται καὶ ἐκ πόσων καὶ ποίων σύγκεινται, εἴρηται. ἐν μὲν οὖν ταῖς ἀρτίαις τοὺς πόδας δέχεται τούτους· ἐν δὲ ταῖς περιτταῖς – ⏑ τροχαῖον, ⏑ ⏑ ⏑ τρίβραχυν ἤτοι χορεῖον, ⏑ – ἴαμβον, σπανιώτερον δὲ καὶ δάκτυλον. καὶ σκόπει μοι, ὅπως καὶ κατὰ τοῦτο ἀντιπαθές ἐστι τὸ τροχαικὸν μέτρον τῷ ἰαμβικῷ· ἐκεῖ μὲν γὰρ ἐν τῇ πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ χώρᾳ καὶ ἁπλῶς ἐν ταῖς περιτταῖς ἔφαμεν τίθεσθαι τὸν σπονδεῖον καὶ τὸν δάκτυλον καὶ τὸν ἀνάπαιστον· ἐνταῦθα δὲ ἐν τῷ τροχαϊκῷ μέτρῳ τοὐναντίον ἅπαν ἐν ταῖς ἀρτίαις· καὶ ὥσπερ ἐν τῷ ἰαμβικῷ μέτρῳ τὸν ἀνάπαιστον τοὺς κωμικοὺς παραλαμβάνειν ἐν ταῖς ἀρτίαις χώραις ὅλως ἐλέγομεν, διὰ τὸ ἀπὸ βραχείας ἄρχεσθαι καὶ κατὰ τοῦτο κοινωνεῖν τῷ ἰάμβῳ, οὕτως ἐνταῦθα τὸν δάκτυλον ἐν ταῖς περιτταῖς, ὡς ἀπὸ μακρᾶς ἀρχόμενον καὶ τέως κατὰ τοῦτο οἰκειούμενον τῷ τροχαίῳ. πλὴν ὥσπερ ἐκεῖ τοὺς ἄλλους μὲν πόδας παρὰ τοῖς νεωτέροις ἔφαμεν παρεᾶσθαι, μόνον δὲ τὸν ἴαμβον ἐν ταῖς ἀρτίαις, καὶ τὸν σπονδεῖον ἢ τὸν ἴαμβον ἐν ταῖς περιτταῖς χώραις παραλαμβάνεσθαι, ἐν δὲ τῇ τελευταίᾳ καὶ τὸν πυρρίχιον, οὕτω κἀνταῦθα ἐν μὲν ταῖς περιτταῖς τὸν τροχαῖον μόνον, ἐν δὲ ταῖς ἀρτίαις τὸν τροχαῖον ἢ τὸν σπονδεῖον δεχόμεθα.

Trich. 391. 30 sqq. τὸ γοῦν καθαρὸν ἰωνικὸν κατὰ πᾶσαν χώραν τὸν ὁμώνυμον αὐτῷ ἰωνικὸν παραδέχεται. δέχεται δὲ καὶ ἐν ταῖς ἀρτίαις, τουτέστι δευτέρᾳ καὶ τετάρτῃ, τοὺς μολοσσούς.

Trich. 393. 27 sqq. συντίθεται δὲ καὶ τοῦτο ὁτὲ μὲν καθαρόν, ὁτὲ δὲ ἐπίμικτον πρὸς τὰς τροχαϊκὰς διποδίας. καὶ ὅτε μὲν καθαρόν ἐστι, κατὰ πᾶσαν χώραν τὸν ὁμώνυμον αὐτῷ δέχεται πόδα, λέγω δὴ τὸν ἀπ᾽ ἐλάσσονος ἰωνικόν, καὶ ἐν ταῖς περιτταῖς, τουτέστι πρώτῃ, τρίτῃ, πέμπτῃ, τοὺς μολοττούς. καὶ τοῦτο εὐλόγως· εἰ γὰρ ἐν ταῖς ἀρτίαις τούτους ἐδέχετο, ἐπαλληλία πολλὴ καὶ συνέχεια ἐγίνετ᾽ ἂν τῶν μακρῶν φωνηέντων. διὰ γὰρ τοῦτο καὶ ἐν τοῖς ἀπὸ μείζονος ἰωνικοῖς ἐν ταῖς ἀρτίαις χώραις τοὺς μολοττούς, ὡς ἔφαμεν ἐλαμβάνομεν· εἰ γὰρ ἐν τῇ πρώτῃ χώρᾳ ὁ μολοττὸς ἔκειτο ποὺς ἐκ τριῶν συγκείμενος μακρῶν, ἑξῆς δὲ καὶ τὰ δύο μακρὰ πάλιν τοῦ ἀπὸ μείζονος ἰωνικοῦ ἐπήγοντο, πολλὴν ἂν ἀρρυθμίαν ἡ τῶν πέντε μακρῶν ἐπιφορὰ ἐνεποίει.

App. Dion. 310. 17 sqq. τινὲς δὲ διαιροῦσιν εἰς δύο τοῦ ἰάμβου τὰς χώρας καὶ τὰς μὲν περιττάς, τὰς δὲ ἀρτίους καλοῦσιν· καὶ περιττὰς μὲν ὀνομάζουσι τὴν πρώτην, τὴν τρίτην, τὴν πέμπτην, ἀρτίους δὲ τὴν δευτέραν, τὴν τετάρτην, τὴν ἕκτην.

App. Dion. 311. 12 sqq. μετρεῖται δὲ ὁ ἴαμβος κατὰ διποδίαν, ὅθεν καὶ τρίμετρος λέγεται. δέχεται δέ τοι πόδας ἐν ταῖς περιτταῖς χώραις, ἤγουν πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ, [δέχεται δὲ] πάντας ἀδιαφόρως χωρὶς τοῦ πυρριχίου· ἐν δὲ ταῖς ἀρτίαις, ἤγουν δευτέρᾳ καὶ τετάρτῃ, τοὺς ἀπὸ βραχείας ἀρχομένους καὶ μόνον, χωρὶς τοῦ πυρριχίου· ἐν δὲ τῇ ἕκτῃ χώρᾳ δέχεται πυρρίχιον ἢ ἴαμβον διὰ τὴν ἀδιαφορίαν.

Schol. A in Hephaest. 115. 2 sqq. ἐπειδὴ πᾶσα μέτρων ἀρχὴ ἀδιάφορος, καὶ ὁ ἴαμβος ἐδέξατο ἐν ἀρχῇ τὸν σπονδεῖον· τούτου δὲ κοινωνήσαντος τῷ μέτρῳ καὶ οἱ ἀπ᾽ αὐτοῦ λυθέντες ἐκοινώνησαν, δάκτυλός φημι καὶ ἀνάπαιστος· ὁ γὰρ χορεῖος τοῦ ἰάμβου ἐστὶ λύσις. εἰ τοίνυν τὸν σπονδεῖον ἐν ταῖς ἀρτίαις (*scil.* χώραις) οὐ δέχεται, οὐδὲ τὸν ἀπ᾽ αὐτοῦ λυθέντα ἀνάπαιστον ὀφείλει δέχεται.

Schol. A in Hephaest. 121. 24 sqq. ἔπειθ᾽ ὁ ἴαμβος κατὰ τὰς περιττὰς (*scil.* χώρας) τοὺς πέντε (*scil.* πόδας) δέχεται, κατὰ δὲ τὰς ἀρτίους τοὺς τρεῖς, τὸ δὲ τροχαικὸν τοὐναντίον. κοινὸς δὲ ἀμφοῖν ποὺς ὁ σπονδεῖος, ἐπεὶ τῷ μὲν συνήρξατο, τῷ δὲ συνεσπαύσατο· διὸ ἐν μὲν ἰάμβῳ ἐν ταῖς πρώταις ἐτίθετο, ἐν δὲ τῷ τροχαικῷ ἐν ταῖς δευτέραις. κοινὸς δὲ ἀμφοῖν καὶ ὁ δάκτυλος, τῷ τοῦ μὲν εἶναι ἀρχήν, τοῦ δὲ τέλος.

Schol. A in Hephaest. 124. 12 sqq. ὥσπερ ἐπὶ τοῦ ἰαμβικοῦ κατὰ τὰς ἀρτίους (*scil.* χώρας) τὸν ἀνάπαιστον ἐλάμβανον οἱ κωμικοί, οἱ δὲ τραγικοὶ καὶ ἰαμβοποιοὶ σπανίως, οὕτω καὶ ἐνταῦτα τῷ δακτύλῳ κατὰ τὰς περιττάς φησι χρῆσθαι τοὺς κωμικοὺς διὰ τὸ ὁμιλητικὸν καὶ τὸ βούλεσθαι δοκεῖν τὸ μέτρον εἶναι διαλελυμένον.

Schol. A in Hephaest. 124. 24 sqq. ἰστέον ὅτι ὁ σπονδεῖος τέλος μέν ἐστι τοῦ ἰάμβου καὶ εἶδος αὐτοῦ, ἀρχὴ δέ ἐστιν, οἷον ὕλη τις, τοῦ τροχαίου· οἷον ὁ μὲν ἴαμβος τελειοῦται εἰς μακράν, ὁ δὲ τροχαῖος ἄρχεται ἀπὸ μακρᾶς. καὶ ἐπεὶ τὸ εἶδος ἄρρενος λόγον ἔχει, ἡ δὲ ὕλη θήλεος, διὰ τοῦτο ὁ ἴαμβος ἐν ταῖς πε-

ριτταῖς αὐτοῦ χώραις ἐδέξατο τὸν σπονδεῖον, ὁ δὲ τροχαῖος ἐν ταῖς ἀρτίαις· οἱ γὰρ περιττοὶ τῶν ἀριθμῶν κατὰ τοὺς Πυθαγορείους ἄρρενος ἔχουσι λόγον, οἱ δὲ ἄρτιοι θήλεος.

Schol. A in Hephaest. 145. 11 sqq. εἰκότως ἐπὶ τῶν ἀρτίων (*scil.* χωρῶν) οἱ μολοττοί· τοῦ γὰρ μολοττοῦ τιθεμένου κατ᾽ ἀρχὰς καὶ τοῦ ἰωνικοῦ μετ᾽ αὐτὸν εὑρίσκοντο πέντε μακραὶ ἐφεξῆς καὶ ἀρρυθμία πολλὴ ἐγένετο.

Schol. A in Hephaest. 160. 11 sqq. οἷον ἐν ταῖς ἀρτίαις (*scil.* χώραις) δέχεται τὸν σπονδεῖον τὸ τροχαικόν, οὗτοι δ᾽ ἐν ταῖς περιτταῖς τιθέασι· καὶ τὸ ἰαμβικὸν <ἐν ταῖς περιτταῖς>, οὗτοι δὲ καὶ ἐν ταῖς ἀρτίαις τιθέασιν.

Schol. A in Hephaest. 162. 2 sqq. πολυσχημάτιστα δὲ καλεῖται, ὅταν παρὰ τοὺς ὡρισμένους τόπους τίθενται οἱ πόδες, οἷον αἱ ἄρτιοι (*scil.* χῶραι) τοῦ ἰαμβικοῦ δέχωνται σπονδεῖον ἢ δάκτυλον· ὅταν οὖν τις τῶν κωμικῶν θείη δάκτυλον ἢ σπονδεῖον ἐν ταῖς ἀρτίοις τοῦ ἰαμβικοῦ, εἴτ᾽ οὖν ἐν ταῖς περιτταῖς τοῦ τροχαικοῦ, τὸ τοιοῦτον λέγεται πολυσχημάτιστον. ἔδει δὲ πάλιν μετὰ τὰ ἀσυνάρτητα περὶ συγκεχυμένων εἰπεῖν καὶ ἑξῆς περὶ ἀπεμφαινόντων· συγκεχυμένον δέ ἐστιν, ὅταν συζυγίᾳ τινὶ ἑτέρα συζυγία ἐναντία ἐπιφέρηται· ἀπεμφαίνοντα δέ, ὅταν ἔν τινι μέτρῳ κακῶς, τουτέστι παρὰ τόπον, κεῖται πούς, οἷον εἰ ἐν ἰαμβικῷ εὑρεθείη ἐν ἀρτίᾳ βάσει σπονδεῖος ἢ ἐν τροχαικῷ ἐν περιττῇ· τότε γὰρ τοῦ ὅλου μονοειδοῦς ὄντος μία μόνη χώρα ἐστὶν ἀνώμαλος.

Schol. A in Hephaest. 165. 3 sqq. τὸ καθαρὸν κρατίνειον τετράμετρόν ἐστι καταληκτικόν, ἔχον τὴν πρώτην (*scil.* συζυγίαν) χοριαμβικήν, τὴν δευτέραν ἰαμβικήν, <τὴν> τρίτην τροχαικήν, τὴν κατακλεῖδα τροχαικήν· καὶ ἐν ταῖς ἰαμβικαῖς τοίνυν καὶ ταῖς τροχαικαῖς παρὰ τάξιν τιθέντες τοὺς σπονδείους πολυσχημάτιστον αὐτὸ ποιοῦσιν, οἵα ἐστὶν ἡ παράβασις ἥδε· (Eupol. 42. 1 [PCG V, p. 318] Kassel-Austin)

ἄνδρες ἑταῖροι δεῦρ᾽ ἤδη τὴν γνώμην προΐσχετε.

ἡ πρώτη χοριαμβικὴ ‘ἄνδρες ἑται᾽. ἡ δευτέρα ἰαμβικὴ οὖσα ἐν ἀρτίῳ (*scil.* χώρᾳ) ἔσχε τὸν σπονδεῖον ‘ροι δεῦρ᾽ ἤδη᾽. ἡ τρίτη τροχαικὴ οὖσα ἐν τῇ περιττῇ ἔσχε τὸν σπονδεῖον ‘τὴν γνώμην προ᾽ καὶ λοιπὸν ἡ κατακλεὶς τροχαικὴ ‘ίσχετε᾽.

Schol. B in Hephaest. 266. 5 sqq. τὸ ἰαμβικὸν μέτρον κατὰ μὲν τὸ περιφανέστατον αὐτοῦ μέχρι τοῦ τριμέτρου πρόεισι· κατὰ δὲ τὰ παρὰ τοῖς παλαῖος εὑρισκόμενα καὶ μέχρι τοῦ πενταμέτρου παραύξεται. δέχεται δὲ ἐν μὲν ταῖς περιτταῖς χώραις τοὺς πέντε τούτους πόδας, ἴαμβον, χορεῖον, σπονδεῖον, δάκτυλον, ἀνάπαιστον, ἐν δὲ ταῖς ἀρτίαις τοὺς ἀπὸ βραχείας ἀρχομένους πάντας, ἴαμβόν φημι καὶ χορεῖον, σπανίως δὲ καὶ τὸν ἀνάπαιστον, κατὰ δὲ τὴν ἕκτην χώραν ἴαμβον μόνον ἢ πυρρίχιον.

Schol. B in Hephaest. 269. 15 sqq. ἔστι δὲ καὶ τὸ τροχαικὸν ὡσαύτως κατά τε τὰς τῶν ποδῶν παραυξήσεις καὶ τὰς τομὰς καὶ ἔτι ἀποθέσεις [καὶ μὴν καὶ κατὰ τὸ σεσινῶσθαι τὰς βάσεις οὐ φαύλῳ τινὶ τοῦ ἰαμβικοῦ διαφέρον]. βαίνεται δὲ παραπλησίως ἐκείνῳ κατὰ διποδίαν. δέχεται δὲ [τὸ τρίμετρον αὐτοῦ] πόδας ἐν μὲν ταῖς περιτταῖς (*scil.* χώραις) τροχαῖον, τρίβραχυν ἤτοι χορεῖον, δάκτυλον, ἐν δὲ ταῖς ἀρτίαις τροχαῖον, τρίβραχυν ἤτοι χορεῖον, σπονδεῖον, δάκτυλον, ἀνάπαιστον.

Schol. B in Hephaest. 285. 10 sqq. οἱ δὲ νεώτεροι διαιροῦσιν αὐτὸ (*scil.* τὸ δίμετρον ἰαμβικὸν ἀνακρεόντειον) εἴς τε κῶλα ἕξ καὶ εἰς δύο· καὶ τὰ μὲν ἕξ κῶλά φασιν οἴκους, τὰ δὲ δύο κουκούλια. καὶ ἐπιδέχονται οἱ μὲν οἶκοι ἀνάπαιστον καὶ δύο ἰάμβους καὶ περιττὴν συλλαβήν, οἷον· (PLG III, p. 337 Bergk[4])

ἀπὸ τοῦ λίθου τὸ ῥεῖθρον

καὶ· (Sophron. *Anacr.* 5. 1 [PG LXXXVII 3, col. 3756] Migne)

ἀπὸ τῆς φίλης ἐρήμου.

τὸ δὲ τούτων κουκούλιον σύγκειται ἔκ τε τοῦ ἐλάσσονος τῶν δισυλλάβων ποδῶν, τουτέστι τοῦ πυρριχίου, καὶ ἐκ τοῦ μείζονος ἤτοι τοῦ σπονδείου, καὶ ἔχει ἐν μὲν ταῖς περιτταῖς χώραις τὸν ἐλάσσονα, ἐν δὲ ταῖς ἀρτίαις τὸν μείζονα, οἷον· (PLG III, p. 337 Bergk[4])

ἀρετῆς εὐστεφάνου ἄνθεα δρέψας,
ἁγίων περσιδάμου κόσμου ἀίων

καί· (Sophron. *Anacr.* 5. 17 [PG LXXXVII 3, col. 3756] Migne)

Ζαχαρίου μεγάλου πάγκλυτε κοῦρε.

Apthon. GL VI 80. 7 sqq. recipit itaque iambicus versus in disparibus locis, quas Graeci περισσὰς χώρας vocant, id est primo, tertio et quinto, cum est tragicus, spondeum, dactylum, anapaestum; paribus autem, quas ἀρτίους χώρας dicunt, eos (*scil.* pedes) qui <a> brevi syllaba incipiunt, id est iambum, tribrachyn, anapaestum. sexto autem loco quidam volunt recipi pariambum ea contemplatione, qua herous in ultimo trochaeum. [*G.M.*]